ΓΑ, ΑΔ τετραπλάσιά ἐστι τοῦ ἀπὸ ΔΑ. ἀλλὰ τὸ μὲν δὶς
ὑπὸ τῶν ΓΑ, ΑΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ· διπλῆ
γὰρ ἡ ΒΑ τῆς ΑΔ· τὸ δὲ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τῷ ὑ-
πὸ τῶν ΑΒ, ΒΓ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται·
τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλά-
σιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ. ἀλλὰ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ με- — Διὰ β τοῦ β
τὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ἀπὸ τῆς ΑΒ ἐστίν· τὸ ἄρα
ἀπὸ τῆς ΑΒ
τετραπλάσι-
όν ἐστι τοῦ ἀ-
πὸ ΔΑ· ἔστι δέ·
διπλῆ γάρ ἐστιν ἡ ΑΒ τῆς ΔΑ :–



+ ΣΥΝΘΕΣΙΣ :–

Ἐπεὶ οὖν τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς
ΔΑ. ἀλλὰ τὸ ἀπὸ ΒΑ τὸ ὑπὸ ΒΑ, ΑΓ ἐστὶ μετὰ τοῦ ὑπὸ ΑΒ,
ΒΓ. τὸ ἄρα ὑπὸ ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλά-
σιόν ἐστι τοῦ ἀπὸ ΔΑ. ἀλλὰ τὸ μὲν ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον
ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ· τὸ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴ- — Διὰ [illegible] β τοῦ α λ.
σον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ μετὰ
τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς
ΔΑ. ὥστε τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ,
ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΔΑ. τὰ δὲ ἀπὸ τῶν — Διὰ δ τοῦ β:
ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τὸ ἀπὸ τῆς ΓΔ ἐστίν·
τὸ ἄρα ἀπὸ τῆς ΓΔ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς
ΔΑ. ὅπερ ἔδει δεῖξαι :–

+ ΤΟΥ Β ΘΕΩΡΗΜΑΤΟΣ Η ΑΝΑΛΥΣΙΣ ΚΑΙ
Η ΣΥΝΘΕΣΙΣ. ΑΝΕΥ ΚΑΤΑΓΡΑΦΗΣ :–

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΓΑ τμήματος ἑαυτῆς τοῦ ΑΔ πενταπλάσιον
δυνάσθω· τῆς δὲ ΑΔ διπλῆ ἡ ΑΒ· λέ-
γω ὅτι ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέμνεται κατὰ τὸ Γ
σημεῖον. καὶ τὸ μεῖζον τμῆμά ἐστιν ἡ ΑΓ. ἥτις ἐστὶ τὸ
λοιπὸν μέρος τῆς ἐξ ἀρχῆς εὐθείας. ἐπεὶ γὰρ ἡ ΑΒ
ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ. καὶ τὸ μεῖζον
τμῆμά ἐστιν ἡ ΑΓ, τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ
ἀπὸ τῆς ΑΓ· ἐστὶ δὲ καὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ τῷ δὶς ὑπὸ
τῶν ΔΑ, ΑΓ ἴσον· διπλῆ γάρ ἐστιν ἡ ΒΑ τῆς ΔΑ· τὸ ἄ-
ρα ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ὑπὸ ΒΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἀ-
πὸ τῆς ΑΒ, ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ
ἀπὸ τῆς ΑΓ. τετραπλάσιον δὲ τὸ ἀπὸ τῆς ΑΒ τοῦ
ἀπὸ τῆς ΔΑ· τετραπλάσιον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν
ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ τοῦ ἀπὸ ΔΑ. ὥστε τὰ ἀπὸ
μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ
τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶν ἀπὸ τῆς ΓΔ, πενταπλάσιά
ἐστι τοῦ ἀπὸ τῆς ΔΑ· ἔστιν δὲ διὰ τὴν ὑπόθεσιν :–

+ ΣΥΝΘΕΣΙΣ :–

Ἐπεὶ οὖν πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ, τοῦ ἀπὸ
τῆς ΔΑ· τὸ δὲ ἀπὸ τῆς ΓΔ τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ ἐστὶν
μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ. τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ
μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀ-
πὸ ΔΑ. διελόντι τὸ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀ-
πὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΑ. ἔστι
δὲ καὶ τὸ ἀπὸ τῆς ΑΒ τετραπλάσιον τοῦ ἀπὸ ΔΑ. τὸ
ἄρα δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ, ὅπερ ἐστὶ τὸ ἅπαξ ὑπὸ τῶν
ΒΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ. ἀλλ...